1.11.

9 . . . . . . . Προστάττομεν τοὺς ἡμετέρους ἄρ-
χοντας τούς τε κατὰ τὴν βασιλίδα πόλιν ταύτην καὶ
κατὰ τὰς ἐπαρχίας διὰ πάσης χωρεῖν προθυμίας οἴ-
κοθέν τε καὶ παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων
τὰ τοιαῦτα διδασκομένους πάντα τὰ τῆς Ἑλληνικῆς
θρησκείας ἀσεβήματα νομίμως ἀναζητεῖν, ὡς ἂν μήτε
γένοιτο καὶ γενόμενα τιμωροῖτο· εἰ δὲ ὑπερβαίνει
τὰς ἐπιχωρίους ἀρχὰς ἡ τούτων ἐπανόρθωσις, εἰς
ἡμᾶς ταῦτα φέρεσθαι, ὥστε μὴ ἐπ᾿ αὐτοὺς τὴν τῶν
1 ἁμαρτημάτων αἰτίαν καὶ κίνησιν ἐλθεῖν. Μηδενὶ
δὲ ἐξέστω μήτε ἐν διαθήκῃ μήτε κατὰ δωρεὰν κατα-
λιμπάνειν ἢ διδόναι τι προσώποις ἢ τόποις ἐπὶ συστά-
σει τῆς τοῦ Ἑλληνισμοῦ δυσσεβείας, εἰ καὶ μὴ τοῦτο
ἰδικῶς τοῖς τῆς βουλήσεως ἢ διαθήκης ἢ δωρεᾶς περι-
έχοιτο ῥήμασιν, ἄλλως δὲ σὺν ἀληθείᾳ καταληφθῆναι
2 παρὰ τῶν δικαζόντων δύναται. Τὰ δὲ οὕτω κα-
ταλιμπανόμενα ἢ δωρούμενα ἀφαιρείσθω μὲν ἐκείνων
τῶν προσώπων ἢ τόπων, οἷς δέδοται ἢ καταλέλειπται,
προσκυρούσθω δὲ ταῖς πόλεσιν, ἐν αἷς τὰ τοιαῦτα
πρόσωπα οἰκεῖ ἢ καὶ ὑφ᾿ ἃς οἱ τοιοῦτοι διάκεινται
τόποι, ὥστε καθ᾿ ὁμοιότητα τῶν πολιτικῶν δαπα-
3 νᾶσθαι προσόδων. Πάντων τῶν ἐπιτιμίων, ὅσα
παρὰ τῶν προβεβασιλευκότων κατὰ τῆς Ἑλληνικῆς
ἠπείληται πλάνης ἢ ὑπὲρ τῆς ὀρθοδόξου πίστεως εἰσ-
ενήνεκται, κυρίων καὶ βεβαίων διηνεκῶς ὄντων τε
καὶ διὰ τῆς παρούσης εὐσεβοῦς νομοθεσίας φυλαττο-
μένων.

*id est:*

Magistratus nostros tam in hac regia urbe quam in provinciis cum summo studio curare iubemus, ut et per se et a religiosissimis episcopis ea de re certiores facti in omnes paganae superstitionis impietates ex lege inquirant, ne committantur et ut commissa puniantur: quod si earum coercitio provincialem potestatem excedat, ea ad nos referantur, ne in ipsos delictorum causa et incitamentum redundet.

1 ¶ Nemini autem liceat sive in testamento sive per donationem quicquam personis vel locis ad sustentandam paganorum impietatem relinquere, etsi hoc specialiter voluntatis vel testamenti vel donationis verbis non contineatur,sed alio modo pro vero a indicantibus deprehendi possit.

2 ¶ Quae autem ita relicta vel donata sunt, illis personis vel locis quibus data vel relicta sunt auferantur et competant civitatibus, in quibus tales personae habitant vel sub quibus tales loci siti sunt, ut ad instar redituum publicorum erogentur.

3 ¶ Poenis omnibus, quae edi anterioribus imperatoribus adversus paganum errorem vel in favorem. orthodoxae fidei introductae sunt, validis et firmis in perpetuum futuris et per praesentem piam legislationem custoditis.